πρὸς τούτοις πάλιν τῶν Ἡρακλειδῶν εἰς Μεσσήνην καὶ Ἄργος καὶ Σπάρτην αὐτὸς ἐβασίλευσε τῆς Σπάρτης, καὶ τὰ μὲν λοιπὰ δύο, τά τε Μεσσήνια καὶ τὰ τοῦ Ἄργους, ἐφθάρη πράγματα, τὰ δὲ τῆς Σπάρτης ἔμεινεν, ἐπειδὴ ἐπολιτεύσατο Πλατωνικῷ νόμῳ· ὁ γὰρ Πλάτων κελεύει ἐν τῇ πόλει μήτε δούλους πάντας εἶναι, ἐπεὶ μῖσος γενήσεται ἐκ τούτου πρὸς τοὺς ἄρχοντας, μήτε πάντας ἐλευθέρους, ἐπεὶ πάλιν καταφρονοῦσι τῶν ἀρχόντων, ἀλλὰ καὶ δούλους καὶ ἐλευθέρους. ὁ τοίνυν Λυκοῦργος ὑπὸ κη γερόντων ἐκέλευσεν διοικεῖσθαι, ἵνα ὡς γέροντες μήτε τῶν ἀρχόντων φείδοιντο, εἰ φαῦλόν τι διαπράξοιντο περὶ τὸν δῆμον, ἀλλ' ἐπιπλήξουσιν, μήτε τῶν πολιτῶν, εἰ ἴδοιέν τι ἄτακτον αὐτοὺς πράττοντας. ἀμέλει καὶ ἐλάττονα ἐποίησε τὴν πόλιν, καὶ ἐρωτηθείς, ὅτι ἐλάττων γέγονεν ἡ πόλις, ἔφη· ὅτι ἀλλ' ἀσφαλεστέρα. πρὸς δὲ τούτοις καὶ ἀγῶνας καὶ γυμνάσια ἐποίησε τοῖς Λακεδαιμονίοις καὶ ἐκέλευσε συνεστιᾶσθαι αὐτούς, ἵνα φιλίαν σχοῖεν, καὶ συντέλειαν ἐποίησε τῶν πλουσίων, ὅθεν τινὲς μὲν ἱστοροῦσιν, ὅτι οἱ πλούσιοι ἀχθεσθέντες ἐφόνευσαν αὐτόν. Διοσκουρίδης δὲ ὁ ἱστορικὸς λέγει, ὅτι οὔ· ἀλλ' ἐπῆλθον αὐτῷ καὶ Κλέανδρός τις ἐξετύφλωσεν αὐτὸν καὶ ἔφριξαν πάντες οἱ ἄλλοι ἀνιαθέντες· ἀληθέστερον δὲ εἰπεῖν οὐδὲ ἐβλάβησαν οἱ ὀφθαλμοὶ αὐτοῦ ἀλλὰ ἔσχεν καλῶς. ἱστορεῖται γάρ, ὅτι Πτιλλίας Ἀθηνᾶς ἱερὸν ἐποίησεν, πτίλλους δὲ ἐκάλουν τοὺς ὀφθαλμούς. εἰ δὲ ἦν τυφλωθείς, οὐκ ἂν ἐποίησεν ἱερόν. καὶ ἄλλο δὲ ἐποίησεν. ἐμηχανήσατο γὰρ τὸν πλοῦτον ἄχρηστον εἶναι, ὡς μηδένα θέλειν πλουτεῖν· ἐκέλευσε γὰρ χρυσοῦν καὶ ἀργυροῦν νόμισμα μὴ πολιτεύεσθαι, ἀλλὰ χαλκοῦν, καὶ τοῦτο ὄξει βρεχόμενον, ἵνα σηποίτο. λοιπὸν οὖν καὶ ξενηλασίαι ἐγίνοντο· ἕκαστος γὰρ ἐνεθυμεῖτο, ὅτι εἰ ἐνταῦθα μείνω καὶ ἐργάσωμαι καὶ λάβω νομίσματα τοιαῦτα ἐν τῇ ἐμῇ πόλει, οὐ δύναμαι αὐτοῖς χρήσασθαι. ταῦτα μὲν περὶ Λυκούργου καὶ οὐδὲν ἄτοπον ὕλην τινὰ εὑρεθεῖσαν ἄχρηστον, οἷον τὸν Κλέανδρον ἐπιβουλεῦσαι τηλικούτῳ ἀνδρί. 2

18 Plut. Lyc. 11

1 mg. γ′ 5 mg. ση. τὴν διάταξιν 14 mg. δ′ 17 mg. ε′ 24 mg. ϛ′

19 Κλέανδρος e Λέανδρος corr. M[c] 32 ἄχρηστον] om. mg. add. M[c]